UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

**Universitätsbibliothek Wuppertal**

# Plutarchu Chairōneōs Ta Sōzomena Panta

Continens Moralia

**Plutarchus**

**Francofurti, 1620**

An recte dictum sit latenter esse vivendum

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1372

Visual Library

# ΠΛΟΥΤΑΡΧΟΥ ΕΙ ΚΑΛΩΣ ΕΙΡΗΤΑΙ ΤΟ, Λάθε βιώσας.

Ἀλλ' οὐδὲ ὁ τοῦτο εἰπὼν, λαθεῖν ἠθέλησεν· αὐτὸ γὰρ τοῦτο εἶπεν ἵνα μὴ λάθῃ, ὡς τι φρονῶν περιττότερον ἐκ τῆς εἰς ἀδοξίαν προτροπῆς δόξαν ἄδικον ποριζόμενος. Μισῶ σοφιστὴν, ὅστις οὐχ αὑτῷ σοφός. τοὺς μὲν γὰρ περὶ Φιλόξενον τὸν Ἐρύξιδος, καὶ Γνάθωνα τὸν Σικελιώτην, ἐπτοημένους περὶ τὰ ὄψα, λέγουσιν ἐναπομύττεσθαι ταῖς παροψίσιν, ὅπως τοὺς συνεσθίοντας διαστρέψαντες, αὐτοὶ μόνοι τῶν παρακειμένων ἐμφορηθῶσιν· οἱ δὲ ἀκρατῶς φιλόδοξοι καὶ κατακόρως, διαβάλλουσιν ἑτέροις τὴν δόξαν, ὥσπερ ἀντερασταῖς ἵνα τυγχάνωσιν αὐτῆς ἀνανταγωνίστως. καὶ ταὐτὸ τοῖς ἐρέσσουσι ποιοῦσιν· ὡς γὰρ ἐκεῖνοι πρὸς τὴν πρύμναν ἀφορῶντες τῆς νεὼς τὴν κατὰ πρῷραν ὁρμὴν συνεργοῦσιν, ὡς ἂν ἐκ τῆς ἀνακοπῆς περίρροια καταλαμβάνουσα συνεπωθῇ τὸ πορθμεῖον, οὕτως οἱ τὰ τοιαῦτα παραγγέλματα διδόντες, ὥσπερ ἀπεστραμμένοι τὴν δόξαν διώκουσιν. ἐπεὶ τί λέγειν ἔδει τοῦτο; τί δὲ γράφειν; καὶ γράψαντα ἐκδιδόναι πρὸς τὸν μετὰ ταῦτα χρόνον, εἰ λαθεῖν ἐβούλετο τοὺς ὄντας ὁ μηδὲ τοὺς ἐσομένους; ἀλλὰ τοῦτο μὲν αὐτὸ τὸ πρᾶγμα πῶς οὐ πονηρὸν, Λάθε βιώσας, ὡς τυμβωρυχήσας; ἀλλ' αἰσχρόν ἐστι τὸ ζῆν, ἵνα μὴ ἀγνοῶμεν πάντες; ἐγὼ δ' ἂν εἴποιμι, μηδὲ κακῶς βιώσας λάθε· ἀλλὰ γνώσθητι, σωφρονίσθητι, μετανόησον. εἴτε ἀρετὴν ἔχεις, μὴ γένῃ ἄχρηστος, εἴτε κακίαν, μὴ μείνῃς ἀθεράπευτος. μᾶλλον δὲ διελοῦ καὶ διόρισον τίνι τοῦτο προστάττεις. εἰ μὲν ἀμαθεῖ καὶ πονηρῷ καὶ ἀνοήτῳ, οὐδὲν διαφέρεις τοῦ λέγοντος, Λάθε καὶ πυρέττων, λάθε φρενιτίζων, μὴ γνῷ σε ὁ ἰατρὸς, ἴθι ῥίψας ποι κατὰ σκότου σεαυτὸν, ἀγνοούμενος που τοῖς πάθεσιν, καὶ σὺ ἴθι τῇ κακίᾳ νόσον ἀνήκεστον νοσῶν καὶ ὀλέθριον, ἀποκρύπτων τοὺς φθόνους, τὰς δεισιδαιμονίας, ὥσπερ τινὰς σφυγμοὺς, δεδιὼς παρασχεῖν τοῖς νουθετεῖν καὶ ἰᾶσθαι δυναμένοις· οἱ δὲ σφόδρα παλαιοὶ καὶ τοὺς νοσοῦντας φανερῶς προσεστεῖχον· τούτων δὲ ἕκαστος εἴ τι πρόσφορον ἔχοι παθὼν αὐτὸς, ἢ παθόντα θεραπεύσας, ἔφραζε τῷ δεομένῳ· καὶ τέχνην οὕτω φασὶν ἐκ πείρας συνεργαζομένην, μεγάλην γενέσθαι. ἔδει δὲ καὶ τοὺς νοσώδεις βίους καὶ τὰ τῆς ψυχῆς παθήματα πᾶσιν ἀπογυμνοῦν, καὶ ἅπτεσθαι, καὶ λέγειν ἕκαστον ἐπισκοποῦντα τὰς διαθέσεις, Ὀργίζῃ; τοῦτο φύλαξαι. ζηλοτυπεῖς; ἐκεῖνο ποίησον. ἐρᾷς; κἀγώ ποτ' ἠράσθην, ἀλλὰ μετενόησα. νῦν δὲ ἀρνούμενοι, ἀποκρυπτόμενοι, περιστέλλοντες, ἐμβαθύνουσι τὴν κακίαν ἑαυτοῖς. καὶ μὴν εἴ γε τοῖς χρηστοῖς λανθάνειν καὶ ἀγνοεῖσθαι παραινεῖς, Ἐπαμεινώνδᾳ λέγεις, Μὴ στρατήγει· καὶ Λυκούργῳ, Μὴ νομοθέτει· καὶ Θρασυβούλῳ, Μὴ τυραννοκτόνει· καὶ Πυθαγόρᾳ, Μὴ παίδευε· καὶ Σωκράτει, Μὴ διαλέγου· καὶ σεαυτῷ πρῶτον, Ἐπίκουρε, Μὴ γράφε τοῖς ἐν Ἀσίᾳ φίλοις, μηδὲ τοῖς ἀπ' Αἰγύπτου ξενολόγει, μηδὲ τοῖς Λαμψακηνῶν ἐφήβοις δορυφόρει·

# PLVTARCHI LIBELLVS, AN RECTE DIctum ſit, Latenter eſſe viuendum.

At qui ne is quidem, qui hoc pronunciauit, latere voluit: ſed ne lateret hoc dixit, tanquam reliquis ſubtilius aliquid intelligẽs: & cohortando ad nominis obſcuritatem, iniqua ratione gloriam captauit. Ego autem

*Odi ſapientem, qui ipſus non ſapit ſibi.*

Philoxenũ Eryxidis F. & Gnathonem Siculũ obſoniorũ nimia cupiditate impulſos, nariũ ſordes emungere in patinas ſolitos ferunt, vt aliis ab edendo deterritis ipſi ſoli implerentur propoſitis cibis. Atq; ſic etiam iſti nimio gloriæ ſtudio repleti, gloriã apud alios traducunt tanquam riuales ſuos, vt ipſi ea abſq; certamine potiri poſſint. Qua in re imitantur remiges. vt enim hi ad puppim nauis obuerſis oculis proram propellunt, nimirum vt ex alliſione refluxus ortus lembũ vna incitet: ita qui talia dant præcepta, gloriã ij tanq̃ auerſi ſectantur. Quorſum.n. attinebat hoc dicere, quid ſcribere, ſcriptumq; ad poſteros edere, ſi fallere voluit eos qui tum erant, cum ne ab olim quidem victuris ſe vellet ignorari? Verum ipſa res qui non ſit praua, Viue ita vt ignoreris? ſcilicet viue, vt qui ſepulcrũ recluſeris. An viuere eſt turpe, ita vt omnes ſciam⁹ te viuere? Ego ſane dicere non verear, Ne ſi male quidem vixeris, dandam tibi operam eſſe vt lateas. imo enim innoteſce, redi ad ſanitatẽ, corrige peccatũ. Siue virtus tibi adeſt, noli eſſe inutilis: ſiue vitiũ, noli negligere medicinã. Quin tu potius hoc diſtingue ac defini, cuinam homini iſtud Latere tuum præcipis. Si.n. indocto, prauo, & fatuo, perinde eſt ac ſi febricitantem aut inſanientẽ ex morbo occultare ſe iuberes, ne agnoſceretur à medico, & ſe aliquo in tenebras abiicere vbi lateret vna cum ſuis morbis. Tu quoq;, dicis vitioſo homini, cum vitiis tuis te abde, morbumq; inſanabilẽ & peſtilẽtem perfer, celaq; inuidiã vel ſuperſtitionẽ veluti palpitationes quaſdam, & tradere te iis qui docere ac ſanare poſſunt, caue. At vero priſci ęgrotos ſuos in publico proponebant, vt prætereuntium quiuis ſi quid vel ipſe eodem morbo conflictatus, vel ſimiliter laboranti opitulatus medelæ noſſet, id ægrotanti ſignificaret. aiuntq; artẽ hoc modo experientia adiuuante creuiſſe. Hoc modo ẽt vitæ vitia animiq; prauas affectiones expediebat detegere, vt cuiuis liceret iis inſpectis & conſideratis dicere, Iratus es? hoc caue. riualitate vexaris? iſtud facito. amas? ipſe quoq; aliquãdo amaui, ſed reſipui. nunc dũ vitia ſua negãt, occultãt, velãt: penit⁹ ea in ſeſe defigunt. Si vero bonis ſuades vt lateant, Epaminondam iube bello gerendo, Lycurgum legibus ferendis, Thraſybulum tyrannis occidendis, Pythagorã inſtituendis diſcipulis, Socratẽ diſputationibus ſuperſedere. Imo tu primum ipſe Epicure, nõ ſcribe ad amicos in Aſia, nõ ex Ægypto hoſpitib. te pbe, non ſtipator eſto Lampſacenis ephebis, non libros

ὥσπερ οὐδὲ ἡ φθορὰ τοῦ ὄντος, ἄρσις εἰς τὸ μὴ ὂν ἐστὶν, ἀλλὰ μᾶλλον εἰς τὸ ἄδηλον ἀπαγωγὴ τοῦ διαλυθέντος. ὅθεν δὴ τὸν μὲν ἥλιον Ἀπόλλωνα κατὰ τοὺς πατρίους καὶ παλαιοὺς θεσμοὺς νομίζοντες, Δήλιον καὶ Πύθιον προσαγορεύουσι· τὸν δὲ τῆς ἐναντίας κύριον μοίρας, εἴτε θεὸς, εἴτε δαίμων ἐστὶν, ἄλλως ὀνομάζουσιν, ὡς ἂν εἰς ἀειδὲς καὶ ἀόρατον ἡμῶν, ὅταν διαλυθῶμεν, βαδιζόντων, Νυκτὸς ἀϊδνᾶς ἀεργηλοῖό θ' ὕπνου κοίρανον. οἶμαι δὲ καὶ τὸν ἄνθρωπον αὐτὸν οὑτωσὶ φῶτα καλεῖν τοὺς παλαιοὺς, ὅτι τοῦ γινώσκεσθαι καὶ γινώσκειν ἑκάστῳ διὰ συγγένειαν ἔρως ἰσχυρὸς ἐμπέφυκεν. αὐτήν τε τὴν ψυχὴν ἔνιοι τῶν φιλοσόφων, φῶς εἶναι τῇ οὐσίᾳ νομίζουσιν, ἄλλοις τε χρώμενοι τεκμηρίοις, καὶ ὅτι τῶν ὄντων μάλιστα τὴν μὲν ἄγνοιαν ἡ ψυχὴ δυσανασχετεῖ, καὶ πᾶν τὸ ἀφεγγὲς ἐχθαίρει, καὶ ταράττεται τὰ σκοτεινὰ, φόβου καὶ ὑποψίας ὄντα πλήρη πρὸς αὐτήν. ἡδὺ δὲ αὐτῇ καὶ ποθεινὸν οὕτω τὸ φῶς ἐστιν, ὥστε μηδὲ ἄλλῳ τινὶ τῶν φύσει τερπνῶν ἄνευ φωτὸς ὑπὸ σκότους χαίρειν. ἀλλὰ τοῦτο πᾶσαν ἡδονὴν καὶ πᾶσαν διατριβὴν καὶ ἀπόλαυσιν, ὥσπερ τι κοινὸν ἥδυσμα καταμιγνύμενον, ἱλαρὸν ποιεῖ καὶ φιλάνθρωπον. ὁ δὲ εἰς τὴν ἄγνοιαν αὑτὸν ἐμβάλλων, καὶ σκότος περιαμπεχόμενος, καὶ κενοταφῶν τὸν βίον, ἔοικεν αὐτὴν βαρύνεσθαι τὴν γένεσιν, καὶ ἀπαυδᾷν πρὸς τὸ εἶναι. καίτοι τῆς γε δόξης καὶ τοῦ εἶναι φύσιν εὐσεβῶν χῶρον, Τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν ἐνθένδε νύκτα κάτω, φοινικορόδοις ἐν λειμώνεσσι, καὶ τοῖσιν ἀκάρπων μὲν ἀνθηρῶν καὶ σκυθίων δένδρων ἄνθεσι τεθηλὸς ἀναπέπταται πεδίον, καὶ ποταμοί τινες ἄκλαυστοι καὶ λεῖοι διαῤῥέουσι, καὶ διατριβὰς ἔχουσιν ἐν μνήμαις καὶ λόγοις τῶν γενομένων καὶ ὄντων, παραπέμποντες αὑτοὺς καὶ συνόντες. ἡ δὲ τρίτη τῶν ἀνοσίως βεβιωκότων καὶ παρανόμων ὁδός ἐστιν εἰς ἔρεβός τι καὶ βάραθρον ὠθοῦσα τὰς ψυχὰς, ἔνθεν τὸν ἄπειρον ἐρεύγονται σκότον βληχροὶ δνοφερᾶς νυκτὸς ποταμοὶ, δεχόμενοι καὶ ἀποκρύπτοντες ἀγνοίᾳ καὶ λήθῃ τοὺς κολαζομένους. οὐ γὰρ οὔτε γῦπες κειμένων ἐν γῇ τῶν πονηρῶν κείρουσιν ἀεὶ τὸ ἧπαρ· κατακέκαυται γὰρ ἢ κατασέσηπεν. οὐδὲ βαρῶν τινων ἀχθοφορίαι θλίβουσι καὶ καταπονοῦσι τὰ σώματα τῶν κολαζομένων. οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσιν. οὐδέν ἐστιν ὑπόλειμμα σώματος τοῖς τεθνηκόσι τιμωρίας ὅπερ ἐστὶν ἀντιτύπου δέξασθαι δυνάμενον· ἀλλὰ ἓν κολαστήριον ὡς ἀληθῶς τῶν κακῶς βιωσάντων, ἀδοξία καὶ ἄγνοια, καὶ παντελῶς ἀφανισμὸς, αἴρων εἰς τὸν ἀμειδῆ ποταμὸν ἀπὸ τῆς λήθης, καταποντίζων εἰς ἄβυσσον καὶ ἀχανὲς πέλαγος, ἀχρηστίαν καὶ ἀπραξίαν, πᾶσαν ἄγνοιαν καὶ ἀδοξίαν συνεφελκόμενον.

A sicut neque interitu res in nihilum rediguntur, sed tantum in obscurum abducuntur. Hinc est quod maiorum instituto Solem cum Apolline eundem putantes, Delium & Pythium cognominant à manifestando: sicut adversæ dominum sortis, siue is Deus est siue genius, Aden nominant (nos Plutonem:) quod nos cum dissoluimur, abeamus in locum visui inaccessum: & vocant,

*Somni socordis dominum, cæcæque noctis.*

Existimo autem ipsum quoque hominem veteres phota dixisse, quod vnicuique nostrum ob cognationem cum lumine (id ipsis est phôs) acris est insi- B tus amor cognoscendi & innotescendi. Ipsam vero animam nonnulli philosophorum lumen, suapte natura esse statuunt, cum alijs vtentes argumentis, tum quod nullam rem anima magis auersatur quã ignorantiam, & omnia lucis expertia vitat, tenebrisque turbatur, metuit, ac suspecta habet: ita autem ei dulce est lumen, ita desiderabile, vt nihil aliud ipsi iucundum sine eo aut in tenebris velit admittere: sed omnem ei voluptatem, iocum, ac delectationem lux admixta veluti commune condimentum suauem reddat atque gratam. Qui vero seipsum in obscuritatem conijcit, ac se tenebris involuit, vitamque inanis similem sepulcri facit: is ipsum vi- C detur ortum fastidire, & quod exstiterit inique ferre. Iam recepta est hæc sententia, esse quendam locum, vbi pij post mortem degant.

*His apud inferos per noctem.*
*Solis fulget iubar almi,*
*Per prata puniceis rosis.*
*Consita.---*
*Illis campus floridus patet*
*Virensq; frondibus arborum,*

fluuijque quidam lenes & lacrymarum vacui perfluunt: mutuaque se consuetudine oblectant, com- D memorandis & explicandis rebus præteritis ac præsentibus. Tertia via est eorum qui impie & flagitiose vixerunt, quæ animas in orcum & voraginem detrudit.

*Vbi immensas tenebras eructant*
*Validi nigræ noctis fluvii,*

recipientes & ignorantia ac obliuione occultantes eos qui puniuntur. Non enim vultures semper iacentium in terra depascuntur iecur. aut enim igni id aut putredine absumtum est: neque ponderum moles gestandorum fatigant atque conficiunt corpora pœnas luentium:

*Non etenim fibris sunt cinctave carnibus ossa:*

E neque reliquiæ sunt corporum post mortem, quæ cruciatus sustinere possint. Sed re vera vnicum eos qui male vixerunt manet supplicium, obscuritas & ignoratio, & abolitio in nihilum redigens, ac obliuione in fluvium illum illætabilem abripiens, inque abyssum demergens, & in vastissimum mare, invtilitate & ocio, ignoratione que & obscuritate omnia involuens.